ΕΡΜΙΟΝΗ.

κόσμον μὲν ἀμφὶ κρατὶ χρυσέας χλιδῆς
στολμόν τε χρωτὸς τόνδε ποικίλων πέπλων
οὐ τῶν Ἀχιλλέως οὐδὲ Πηλέως ἄπο
δόμων ἀπαρχὰς δεῦρ' ἔχουσ' ἀφικόμην,
ἀλλ' ἐκ Λακαίνης Σπαρτιάτιδος χθονὸς
Μενέλαος ἡμῖν ταῦτα δωρεῖται πατὴρ
πολλοῖς σὺν ἕδνοις, ὥστ' ἐλευθεροστομεῖν.
ὑμᾶς μὲν οὖν τοῖσδ' ἀνταμείβομαι λόγοις·
σὺ δ' οὖσα δούλη καὶ δορίκτητος γυνὴ
δόμους κατασχεῖν ἐκβαλοῦσ' ἡμᾶς θέλεις
τούσδε, στυγοῦμαι δ' ἀνδρὶ φαρμάκοισι σοῖς,
νηδὺς δ' ἀκύμων διὰ σέ μοι διόλλυται·
δεινὴ γὰρ Ἠπειρῶτις ἐς τὰ τοιάδε
ψυχὴ γυναικῶν· ὧν ἐπισχήσω σ' ἐγώ,
κοὐδέν σ' ὀνήσει δῶμα Νηρῇδος τόδε,
οὐ βωμὸς οὐδὲ ναός, ἀλλὰ κατθανῇ.
ἢν δ' οὖν βροτῶν τίς σ' ἢ θεῶν σῶσαι θέλῃ,
δεῖ σ' ἀντὶ τῶν πρὶν ὀλβίων φρονημάτων
πτῆξαι ταπεινὴν προσπεσεῖν τ' ἐμὸν γόνυ,
σαίρειν τε δῶμα τοὐμὸν ἐκ χρυσηλάτων
τευχέων χερὶ σπείρουσαν Ἀχελῴου δρόσον,
γνῶναί θ' ἵν' εἶ γῆς. οὐ γάρ ἐσθ' Ἕκτωρ τάδε,
οὐ Πρίαμος οὐδὲ Φρύγιος, ἀλλ' Ἑλλὰς πόλις.
ἐς τοῦτο δ' ἥκεις ἀμαθίας, δύστηνε σύ,
ἣ παιδὶ πατρός, ὃς σὸν ὤλεσεν πόσιν,
τολμᾷς ξυνεύδειν καὶ τέκν' αὐθέντου πάρα

148 στολμων mut. in στολμόν P, στόλον L | τόνδε AL, τῶνδε r 149 ἀχιλέως B 150 ἀιφικόμην A 151 οὐκ Λακαίνης Nauck | σπαρτιάδος L, mut. in σπαρτιάτιδος l 153 ἔδνοις AL (ἕδνοις l) 154 τοῖσδ' L τοιοῖσδ' r (unde τοιοισίδ' ἀνταμείβομαι, expulso vocabulo λόγοις, coniecit Kirchhoff) | ἀμείβομαι P 158 νηδύς τ' Lenting 159 ἠπειρῶτις L 160 ψυχὴ] τέχνη Nauck 161 νηρῆδος LP, νηρηΐδος r 163 ὁ** mut. in οὖν B (rescr. b) | θεῶν τίς σ' ἢ βροτῶν P | τίς σ'] τί σ' A, τίς E | σώσαι A | βροτῶν τιν' ἢ θεῶν σῶσαί σε λῇς Herwerden 165 προυσπεσεῖν A 166 τε] τὸ L τε l 167 τεύχεων B | χειρὶ (ει in ε corr. E) σπείρουσαν BE, περισπείρουσαν P, χερὶ σπείρασαν L (ασ in ουσ mut. l) 168 ἵν' ᾖ B, ἵνα E 169 Φρύγιος] olim Hermann, χρυσός libri 170 το**** mut. in τοῦτο δ' L 171 ἢ A ἣ A[2] | ὤλεσε B 172 τολμᾷ B | αὐθεντῶν J. Heiland